2 ὠμότητα: cf. sch. Aristid. 1, 80 Lenz-Behr τὴν ὕβριν] ἀντὶ τοῦ τὴν ὠμότητα καὶ νῦν: cf. sch. **863** **3** καὶ Ὅμηρος – **4** καλεῖ: cf. sch. Hom. *Il.* 23.795a[1] {ἀντίλοχ΄ οὐ μέν τοι} μέλεος: ὅτι μάταιος καὶ πρὸς οὐδέν· οἱ δὲ νεώτεροι τὸν ταλαίπωρον μέλεον; 23.795a[2] {οὐ μέν τοι} μάταιος· οὐκ οἰκτρός, ὡς οἱ τραγικοί; Hesych. μ 678 μέλεος· μάταιος (Ψ 795); Σ μ 95 μέλεος· ἄθλιος, μάταιος, ταλαίπωρος, δυστυχής = Phot. μ 230 = Su. μ 477+ **5** Hom. *Il.* 23.795

1 lm. deest in T; accuratiss. v. 888 *ἐπεῖδες – ὕβριν;* τεθέασαι – τόλμαν om. T ἐκαρτέρησας] ἐκ. φησὶν T **2** τὴν ὠμότητα] τήνδε τὴν ὕβριν τουτέστι τὴν ὠμ. T οὕτως] οὕτω T εἶπεν – *ματαία*] χρὴ νοεῖν τὴν ὕβριν· τὸ δὲ *ματαία* T **3** γὰρ om. T

890 (*τίς ἦν;*) ἀντὶ τίνα θυμὸν εἶχεν τότε; L

1 sch. ad lm. *τίς θυμός* v. 882 adscripsit Elmsley lm. addidi

891 (*αὐτή – τάδε*): ταῦτα τῇ χειρὶ ἑαυτῆς διεπράξατο. L[s.l.] T[s.l.]

1 lm. addidi ταῦτα post διεπράξατο transp. T

892a (*τί φωνεῖς;*): ἀντὶ τοῦ ἄπιστα λέγεις. L[s.l.]

1 lm. add. Lascaris

892b (*σαφηνῆ*): ἀληθῆ. L[s.l.] T[s.l.]

1 lm. add. Elmsley

894 (*ἁ νέορτος ἅδε νύμφα*): ἡ νεωστὶ ἐνταῦθα ὁρμήσασα Ἰόλη· *ἀνέορτος* δὲ ἀντὶ τοῦ αἰσχρὰ καὶ ἀπρεπής. L; cf. gll. in T[s.l.]

1 νεωστί: cf. sch. *OC* 1507 νέορτον] ἀντὶ τοῦ νέον; Su. ν 202 Νέορτον: νέον

1 lm. add. Papageorgiou; auctorem huius scholii inter *ἁ νέορτος* et *ἀνέορτος* fluctuare patet (vide Wolff 58; haec diversis ab interpretibus scripta esse coni. Valckenaer 75[r]) **1** ἡ νεωστὶ – fin.] ἡ αἰσχρὰ καὶ ἀπρεπὴς gl. ad *ἀνέορτος* et ἡ νεωστὶ ἐνταῦθα ἐλθοῦσα Ἰόλη gl. ad *ἅδε νύμφα* T

898 (*κτίσαι*): κατασκευάσαι καὶ ποιῆσαι· καλῶς δὲ ὡς ἐπὶ μεγάλῳ τολμήματι εἶπεν τὴν λέξιν. L T; cf. etiam gll. in T[s.l.]

1 ποιῆσαι: cf. sch. Aesch. *Eum.* 17 κτίσας· ποιήσας. ἰδίωμα δὲ τοῦτο Αἰσχύλου.; id. *Pers.* 289 ἔκτισαν] ἐποίησαν; id. *Supp.* 636a κτίσαι] ποιῆσαι

1 lm. add. Brunck[2]; (*κτίσαι* s.) L κατασκευάσαι καὶ ποιῆσαι om. in margine, sed κατασκευάσαι, ποιῆσαι praebuit ut gll. ad *κτίσαι* T δὲ om. T, quoniam ab καλῶς scholium incipit

899 (*πεύσῃ – ἐμοί*): οὕτως ἀκριβῶς διηγήσομαί σοι τὸ πρᾶγμα ὡς πεισθῆναί σε ὅτι ἀληθῆ λέγω. L T

1 lm. addidi; (*πεύσῃ* s.) L

901 (*κοῖλα*): γράφεται *κοινά* ἢ τὰ τοῦ θανάτου ἢ τὰ αὐτῆς καὶ τὰ αὐτοῦ. L; cf. sch. retractatum in T; cf. etiam gl. in T[s.l.]

1 lm. add. Elmsley; (*κοῖλα* s.) L γράφεται *κοινά* om. in margine T, sed praebuit ut gl. ad *κοῖλα* γρ. LT ἢ (pr.) – fin. ita reformavit T: *κοῖλα* τὰ τοῦ θανάτου ἢ *κοινὰ* τὰ αὐτοῦ καὶ τὰ αὐτῆς **1–2** τὰ αὐτοῦ T (coni. iam Papageorgiou): τοῦ αὐτοῦ L: [τοῦ] αὐτοῦ Wolff 58

902 (*παῖδα ... στορνύνθ᾽*): τὸν Ὕλλον στρωννύντα. L T

1 στρωννύντα: cf. sch. Hom. *Od.* 3.158 ἐστόρεσεν] ἔστρωσεν; Apollon. S. 77, 33 ἐστόρεσεν· ἔστρωσεν; Σ ε 876 ἐστόρεσεν: ἔστρωσεν = Su. ε 3230; Hesych. ε 6420 ἐστόρεσαν· ἔστρωσαν; sch. D Hom. *Il.* 9.621 στορέσαι: στρῶσαι; Σ σ 240 στορέσαι: στρῶσαι = Phot. 540, 25 = Su. σ 1143; Hesych. ε 6421 ἐστορέσθη: ἐστρώθη; Σ ε 877 ἐστορέσθη: ἐστρώθη = Phot. ε 2035 = Su. ε 3231

1 lm. addidi in initio scholii εἶδε praefixit T

905–6 (*κλαῖε – πάρος*): καὶ <εἰ> ἥπτετό τινος ἐργαλείου ὧν εἰώθει μεταχειρίζεσθαι συνόντος αὐτῇ τοῦ Ἡρακλέους, οἷον ἱστοῦ ἤ τινος τοιούτου, ὠδύρετο ὡς λοιπὸν καταλιμπάνουσα αὐτά. L T

1 *ψαύσειεν* per ἥπτετο explicatur etiam in sch. D Hom. *Il.* 16.216 ψαῦον: … ἥπτοντο; ibid. 13.132 ψαῦον: … ἥπτοντο; Hesych. ψ 83 ψαῦσαι· ἅψασθαι; Σ ψ 5 ψαύει: ἅπτεται = Su. ψ 30+ *ὄργανον* per ἐργαλεῖον explicatur etiam in Hesych. ο 1107 ὄργανον· … ἐργαλεῖον

1 lm. addidi εἰ add. Papageorgiou ἥπτετο] ἥπτ., φησί, T εἰ ἥπτετο pro εἰ ἅπτοιτο usu recentiore adhiberi videtur εἰώθει T (coni. iam Bernardakis 62): εἴωθε L **3** ὠδύρετο] καὶ ὠδ. T

905a (*ἐρήμη*): χήρα. L[s.l.]

1 lm. add. Elmsley

905b[1] (*ὀργάνων*): ἱστοῦ [δὲ] ἴσως ἐφήπτετο διὰ τὸν κατασκευασθέντα πέπλον ἐπὶ ταῖς συμφοραῖς. L T

1–2 haec a sch. **905–6** separavi **1** lm. addidi δὲ delevi

905b[2] *ὀργάνων*: ἢ τῶν ἱστουργικῶν ἢ τῶν ἐργαλείων οἷς τὸν πέπλον ἔχρισεν. L[s.l.] T

1 lm. deest in L

907 (*ἄλλῃ δὲ κἄλλῃ*): ἀντὶ τῇδε κἀκεῖσε. L T[s.l.]

1 lm. add. Lascaris ἀντί om. T

911a *τὰς ἄπαιδας*: ἐπεὶ μηκέτι ἔμελλεν παῖδας τίκτειν ἤτοι σχήσειν, ὅτι τοῦ λοιποῦ οὐ γενήσονται συνουσίαι πρὸς τὸν Ἡρακλέα εἰς παιδοποιίαν. L T

1 lm. ex T (*τὰς ἄπαιδας* λέγει, ἐπεὶ etc): deest in L; accuratiss. v. 911 *τὰς ἄπαιδας – οὐσίας* ἐπεὶ μηκέτι pro ἐπεὶ οὐκέτι usu recentiore; vide ad sch. *El.* 31.3 **2** ὅτι] οὐσίαι δὲ ὅτι T

911b *οὐσίας* [δὲ] κοίτας, συνουσίας. L

1 haec a sch. pr. separavi δὲ delevi

914 (*ἐπεσκιασμένη*): περικεκαλυμμένη, κρύπτουσα. L[s.l.]

1 lm. add. Lascaris

915 (*φρούρουν*): ἐφύλαττον. L[s.l.]

1 cf. sch. *Ph.* 151 φρουρεῖν …: … φυλάττειν; Hesych. φ 919 φρουρεῖ· φυλάττει; Σ φ 207 φρουρεῖ· φυλάσσει = Su. φ 740

1 lm. add. Lascaris

915–6 (*δεμνίοις* | *τοῖς Ἡρακλείοις*): ἔνθα συνεκάθευδεν· ἄλλο γὰρ ἦν ὅπερ ἐστόρεσεν ὁ Ὕλλος. L T

1 ἄλλο – fin. v. 901

1 lm. add. Brunck[2]: *θάλαμον* (913) T: deest in L συνεκάθευδεν] συνεκάθευδον Papageorgiou, sed ad *γυναῖκα* spectat scholiasta post συνεκάθευδεν add. τῷ Ἡρακλεῖ T **2** ἐστόρεσεν] ἔστρωσεν T

917 (*ἐπενθοροῦσ᾽ ἄνω*): ἐναλομένη ἄνω εἰς τὴν κλίνην. L; cf. gll. in T[s.l.]

1 lm. add. Lascaris; (*ἐπενθοροῦσ᾽* s.) L ἐναλομένη – fin] ἐναλλομένη gl. ad *ἐπενθοροῦσα* et εἰς τὴν κλίνην gl. ad *ἄνω* nec plura T **1** ἐναλομένη dubitanter Papageorgiou, confidenter ego coll. sch. **1a**.10 προβαλομένου: ἐναλλομένη LT

922 (*εὐνήτριαν*): εὐναζομένην, κοιμωμένην. L T[s.l.]

1 lm. add. Lascaris, sed pro *εὐνήτριαν* scripsit *εὐνήτρειαν*

925a (*προὔκειτο*) *μαστῶν περονίς*: πρὸς τῷ στήθει γὰρ ἐπερονῶντο αἱ γυναῖκες. L T

1 lm. T supplevi: deest in L; (*προύκειτο* s.) L πρὸς … γὰρ] ὅτι πρὸς T

925b *ἐκ δ᾽ ἐλώπισεν*: ἐγύμνωσεν, ἐξέδυσεν· λῶπος γὰρ τὸ ἱμάτιον. L T

ἐξέδυσεν: cf. Ael. D. ε 42 ἐξελώπισας· ἀντὶ τοῦ ἐξέδυσας, ἔξω τοῦ λοποῦ ἐποίησας; Hesych. ε 3701 ἐξελώπισεν· †ἀπήνθησεν. ἐξεσκύλευσεν, ἐξέδυσεν (Soph. Trach. 925); Eust. *Od.* II 47, 20–1 … ἐκ τούτου δὲ καὶ τὸ ἐξελώπισας ἐν ῥητορικῷ κεῖται λεξικῷ ἀντὶ τοῦ ἐξέδυσας, ἔξω τοῦ λοποῦ ἐποίησας λῶπος – fin.: cf. sch. Ar. *Plut.* 165a …λῶπος γὰρ τὸ ἱμάτιον λέγεται; Hesych. λ 1513 λῶπος· ἱμάτιον; Σ λ 178 λῶπος· ἱμάτιον = Phot. λ 505 = Su. λ 735; Eust. *Od.* II 47, 22 … καὶ λῶπος προπερισπωμένως τὸ ἱμάτιον; EM 571, 1

1 lm. Lascaris: *ἐλώπισε* δὲ T, quippe qui hoc sch. cum sch. **925a** coniungat; (*ἐλώπισεν* s.) L ἐγύμνωσεν] ἀντὶ τοῦ ἐγ. T λῶπος] λώπη T

928 (*τῷ παιδὶ – τάδε*): τῷ Ὕλλῳ, τῷ παιδὶ τῆς τοιαῦτα τολμώσης. L; cf. gll. in T[s.l.]

1 lm. addidi τῷ Ὕλλῳ – fin.] τῷ Ὕλλῳ gl. ad *τῷ παιδί* et τῆς τὰ τοιαῦτα τολμώσης gl. ad *τῆς τεχνωμένης τάδε* nec plura T

929 *κἀν ᾧ*: καὶ ἐν ᾧ· καὶ ἐν ὅσῳ διετρέχομεν πρὸς τὸν Ὕλλον, εἶτα πάλιν πρὸς τὴν Δηιάνειραν, ἔφθασεν ἑαυτὴν ἀνελοῦσα. L T

1 lm. deest in L; (*κἀν ᾧ* s.) L; pars καὶ ἐν ὅσῳ (1) – fin. ad lm. latius spectat vv. 929–31 *κἀν ᾧ – πεπληγμένην* καὶ ἐν ᾧ om. T ὅσῳ] ὅσῳ, φησί, T πρὸς] ἐπὶ T **2** πρός] ἐπὶ T

931 *ὑφ΄ ἧπαρ*: περὶ τὸ ἧπαρ γὰρ φρένες εἰσὶ παχεῖαι· Ὅμηρος *ὅθι τε φρένες ἧπαρ ἔχουσιν.* L T; cf. etiam gl. in T[s.l.]

1 περὶ – παχεῖαι: cf. Hp. *Oss.* IX 180, 2–3 Littré Φρένες δὲ προσπεφύκασι τῷ ἥπατι, ἃς οὐ ῥᾴδιον χωρίσαι; sch. Hom. *Od.* 9.301 ὅθι φρένες ἧπαρ ἔχουσιν] ὅπου αἱ φρένες τὸ ἧπαρ συνέχουσιν. φρένες δὲ λέγονται ὁ ὑμὴν ὁ σκέπων τὴν καρδίαν καὶ τὸ ἧπαρ; id. *Il.* 1.103c … εἰσὶ δὲ τῶν ἐντοσθίων αἱ φρένες· «πλευρὰς ὑφ΄ ἧπαρ καὶ φρένας» (Soph. *Trach.* 931)…; ibid. *Il.* 13.412 ἧπαρ <ὑπὸ πραπίδων>: ἔβαλεν αὐτὸν εἰς τὸ ἧπαρ ὑποκάτω τῶν φρενῶν. φρένες δὲ αἱ διεζωσμέναι τὸν ὑπὸ τῷ πνεύμονι καὶ τῇ καρδίᾳ τόπον, ὃς καλεῖται διάφραγμα 'ὑφ΄ ἧπαρ καὶ φρένας πεπληγμένη<ν>' (Soph. *Trach.* 931) Ὅμηρος: *Od.* 9.301 οὐτάμεναι πρὸς στῆθος, ὅθι φρένες ἧπαρ ἔχουσι

1 lm. ex Λ: deest in LT; accuratiss. *ὑφ΄ ἧπαρ καὶ φρένας* **1** περὶ – παχεῖαι] om. in margine T, sed retractata ut gl. ad *ὑφ΄ ἧπαρ καὶ φρένας* praebuit: ἐπειδὴ περὶ τὸ ἧπαρ φλέβες εἰσὶ παχεῖαι φλέβες in linea et ρ supra λ et ν supra β scripta ut fiat φρένες L: φλέβες ΛT παχεῖαι T: ταχεῖαι L Ὅμηρος] καὶ Ὅμ. T **2** *τε*] τοι T

932 *ἔγνω γὰρ τάλας*: ἔγνω γὰρ κατὰ ποῖον τρόπον τοῦτο ἐποίησεν ἡ μήτηρ αὐτοῦ· συνεῖδεν ὡς ὀργισθεῖσα ἐπὶ τῷ ἠπατῆσθαι παρὰ τοῦ Νέσσου τὸ ἔργον τοῦτο διεπράξατο. L T

1 lm. ex Λ: deest in LT; accuratiss. vv. 932–5 *ἔγνω γὰρ – τάδε*; (*ἔγνω* s.) L ἔγνω] ἔγ., φησί, T γὰρ om. T **1–2** ἐποίησεν ἡ μήτηρ αὐτοῦ] *ἐφάψειεν* ad Deianirae tribuit scholiasta **2** συνεῖδεν ὡς om. T ὀργισθεῖσα] ὀρ. γὰρ T ἠπατῆσθαι] ἐξηπατῆσθαι T

937 (*ἀμφί νιν*): περὶ αὐτήν, τὴν μητέρα. L T$^{s.l.}$

1 lm. add. Lascaris

939 *πλευρὰν παρεὶς ἔκειτο*: <*πλευρὰν*> *παρείς*, ἐκτείνας ἑαυτὸν ἢ προσκολλήσας, ὠδύρετο ὅτι αὐτὴν ματαίως ᾐτιάσατο ὡς κακοήθως ἀποστείλασαν αὐτῷ τὸν χιτῶνα. L; cf. retractationem in T

1–3 haec ita retractavit T: (lm. om.) ἐκτείνας ἑαυτὸν ἐπὶ πλευρὰν ἢ προσκολλήσας ἐκείνῃ, ὠδύρετο ὅτι αὐτὴν ματαίως ᾐτιάσατο ὡς κακοήθως ἀποστείλασαν αὐτῷ τὸν χιτῶνα. **1** lm. accuratiss. 939–40 *πλευρὰν – κακῇ* πλευρὰν addidi **3** αὐτῷ ex T: αὐτὴν L: del. Lascaris

943 *ὥστ᾽ εἴ τις δύο | ἢ καὶ πλείους*: τῶν ἀνθρωπίνων ἀδήλων ὄντων ἀνόητοί εἰσιν οἱ λογιζόμενοι δύο ἢ καὶ πλείους ἡμέρας καὶ οὐ προσδοκῶντες καθ᾽ ἑκάστην ὥραν τὸν θάνατον· πολλάκις γὰρ λύπῃ τινὶ ἢ δυστυχίᾳ περιπεσόντες ἑαυτοὺς ὑπεξάγουσι τοῦ βίου παραχρῆμα
5 καὶ οὐκ ἀναμένουσι τὴν ἐπιοῦσαν ἡμέραν ὡς καὶ Δηιάνειρα. L T

2 ἀνόητοι: cf. sch. **863.**2 ubi *μάταιος* per ἀναίσθητος explanatur

1 lm. deest in T; accuratiss. 943–6 *ὥστ᾽ – ἡμέραν* (lm.) *πλείους* Λ: π^{λ} compendiose L (*πλείους* apud poetam) τῶν ἀνθρωπίνων ἀδήλων ὄντων] τοιούτων ὄντων τῶν ἀνθρωπίνων ἤγουν ἀδήλων T **2** καὶ (pr.) om. T **4** παραχρῆμα] παραυτίκα T **5** καὶ (alt.)] ἡ T

947 *πότερ᾽ ἂν πρότερα*: ποῖα, φησί, στένω, τὰ κατὰ τὸν Ἡρακλέα ἢ τὰ κατὰ τὴν Δηιάνειραν; ποῖα χαλεπώτερα καὶ περαιτέρω δεινότητος; δυσκατάληπτά ἐστιν ἰσομέγεθα ὄντα. L T

3 δυσκατάληπτα quod ad *δύσκριτ᾽* (949) pertinet: cf. sch. Aesch. *Pr.* 458a δυσκρίτους· δυσκαταλήπτους et 458b δυσκρίτους: Δυσκαταλήπτους, δυσγνώστους…

1 lm. deest in T; accuratiss. 947–9 *πότερ᾽- δυστάνῳ*; grammatico non *τέλεα* sed *μέλεα* fuisse cognitum coni. Wunder[3] 126 **2** δεινότητος] δειν. ἢ ποῖα τελείως περαιτέρω τοῦ δέοντος T **3** δυσκατάληπτα – fin.] om. in margine sed supra lineam praebuit T ἐστιν] εἰσιν T ἰσομέγεθα] ἰσομεγέθη Lascaris

948 *τάδε μὲν ἔχομεν*: τὰ μὲν κατὰ τὴν Δηιάνειραν αὐταῖς ὄψεσιν ἔξεστι θεωρεῖν ἐν τῷ οἴκῳ, τὰ δὲ κατὰ τὸν Ἡρακλέα ἐκδεχόμεθα. L; cf. gll. in T[s.l.]

2 *μένομεν* per ἐκδεχόμεθα explanatur etiam in sch. Aesch. *Th.* 393k μένει] ἐκδέχεται …; ibid. 912c μένουσι] ἐκδέχονται; sch. Eur. *Or.* 1217 μένουσα: … ἐκδεχομένη; id. *Phoen.* 1637; sch. Hom. *Od.* 1.304d μένοντες] ἐκδεχόμενοι

1 lm. accuratiss. 948–51 *τάδε μέν – ἐλπίσιν*; interpretem *μένομεν* pro *μέλλομεν* legisse ex ἐκδεχόμεθα (3) coni. Wunder[3] 128 **1–2** τὰ μὲν – οἴκῳ] τὰ κατὰ τὴν Δηιάνειραν gl. ad *τάδε μὲν ἔχομεν* nec plura T **2** τὰ δὲ – Ἡρακλέα] τὰ κατὰ τὸν Ἡρακλέα gl. ad *τάδε δὲ μέλλομεν* nec plura T ἐκδεχόμεθα] ἤγουν ἐκδεχόμεθα gl. ad *ἐπ᾽ ἐλπίσιν* T

952a[1] *κοινὰ δ᾽ ἔχειν τε καὶ μέλλειν*: κοινὰ δέ ἐστι τὰ ἀμφοτέρων κακὰ καὶ τὰ μὲν ἔχομεν, τὰ δὲ μέλλομεν. L T

1 lm.] deest in T δὲ om. T **2** μέλλομεν] μέλ. ἕξειν T (Lascaris)

952a[2] (*κοινὰ δ᾽ ἔχειν τε καὶ μέλλειν*): ἴσον δέ ἐστι τὸ ἔχειν κακὰ καὶ τὸ προσδοκᾶν. L

1 lm. addidi; (*κοινά* s.) L

953 *εἴθ᾽ ἀνεμόεσσά τις*: *ἀνεμόεσσα αὔρα* περιφανὴς ἄνεμος, *ἔπουρος* οὔριος, *ἑστιῶτις* κατοικίδιος. ὁ δὲ νοῦς· εἴθε ὡς ἔστηκα πνεύσειεν ἄνεμος οὔριος ἐπὶ τῆς οἰκίας, ἵνα με λαβὼν ταύτης ἀπαγάγῃ τῆς ἑστίας καὶ ἀποχωρίζοι, ὅπως μὴ παραχρῆμα ἀποθάνω θεασαμένη τὸν Ἡρακλέα κακῶς διακείμενον. τοῦτο δὲ λέγει ὡς μὴ καρτεροῦσα ἰδεῖν τὰς συμφοράς. L T; cf. etiam gll. in T[s.l.]

4 *εἰσιδοῦσ᾽* per θεασαμένη explanatur etiam in sch. Hom. *Il.* 24.206 ἐσόψεται: … θεάσεται; id. *Od.* 1.118 εἴσιδε: ἐθεάσατο; sch. D Hom. *Il.* 5.212 ἐσόψομαι: … θεάσομαι; *ἄφαρ* per παραχρῆμα explanatur etiam in sch. Hom. *Il.* 13.813–4 ἄφαρ … παραχρῆμα

1 lm. deest in T; pars ὁ δὲ νοῦς (2) – fin. ad lm. 953– 61 pertinet **1–2** *ἀνεμόεσσα* (alt) – νοῦς] haec om. in margine, sed οὔριος ut gl. ad *ἔπουρος* et κατοικίδιος ut gl. ad *ἑστιῶτις* praebuit nec plura T **1** αὖρα (ut apud poetam) L **2** εἴθε] εἴθε, φησίν, T **3** ἐπὶ] ἀπὸ T ἀπαγάγῃ] ἀπαγάγοι T **3–4** ἀπαγάγῃ ... ἀποχωρίζοι] de aoristo iuxta presentem posito vide sch. **1064.**3 **3** ἑστίας] οἰκίας T **4** ἀποχωρίζοι] ἀποχωρίσοι T: ἀποχωρίζῃ '*si quid mutandum sit hisce in verbis*' Wansink 109: ἀποχωρίσειεν Papageorgiou, ἀπαγάγοι in 4 recepto **5** καρτεροῦσα] ἀνεχομένη T

954 (*ἑστιῶτις*): ἐπὶ τοῦ οἴκου τούτου. L

1 lm. add. Elmsley

955 (*ἀποικίσειεν ἐκ τόπων*): ἀποχωρίσειεν ἐκ τούτων τῶν τόπων. L

1 lm. add. Elmsley

957 (*ταρβαλέα*): μὴ ἐνεγκοῦσα τὴν θέαν. L T[s.l.]

1 lm. add. Papageorgiou verbum περίφοβος scholio praefixit T

959 *δυσαπαλλάκτοις*: δυσιάτοις. L T$^{s.l.}$

1 lm. deest in T

959–61 *ἐπεὶ ἐν δυσαπαλλάκτοις – ϑέαμα*: λέγουσι γὰρ παμμέγεϑές τι κακὸν πλησίον που τῆς οἰκίας χωρεῖν δυσιάτους ὀδύνας ἡμῖν ἐφελκόμενον. L T

1 lm. scripsi: *χωρεῖν πρὸ δόμων λέγουσιν* (v. 960) L: deest in T γὰρ scripsi (cf. ad sch. **112–3.**4): τι L: om. T (vide notam sequentem) λέγουσι γὰρ] ἐπεὶ λ. T **1** λέγουσι – **2** κακὸν] λέγουσι [τι] παμμέγεϑές τι κακὸν Papageorgiou: λέγουσί τι παμμέγεϑες [τι] κακὸν Lascaris et Blaydes 207: λέγουσί τι, παμμέγεϑές τι κακόν, Wolff 60

961 (*ἄσπετον*): μέγα καὶ ἄπιστον. L T$^{s.l.}$

1 μέγα: cf. sch. Hom. *Il.* 17.332; Hesych. α 7765 ἄσπετος· … μέγας

1 lm. add. Elmsley

963 *προὔκλαιον* [*ὀξύφωνος*]: ἀντὶ τοῦ προκλαίουσιν. ὁ χορὸς αἰσϑάνεται τοῦ Ἡρακλέους πλησίον φερομένου καὶ πλήϑους ϑρηνούντων ἐπακολουϑοῦντος αὐτῷ. L T

2 *ἀγχοῦ* per πλησίον explanatur in sch. D Hom. *Il.* 2.173 ἀγχοῦ: … πλησίον; ibid. 3.129 ἄγχου: πλησίον; Hesych. α 928 ἀγχοῦ …· πλησίον …

1 lm. L decurtavit Brunck^{2}: deest in T ἀντὶ – προκλαίουσιν om. T *προὔκλαιον* de hospitibus qui ingrediuntur intellexit scholiasta **2** ϑρηνούντων] ϑρ. καὶ T **2–3** πλήϑους … ἐπακολουϑοῦντος Nauck 434: πλῆϑος ... ἐπακολουϑούντων codd.: πλήϑους ... ἐπακολουϑούντων dubitanter Papageorgiou xvii et Bernardakis 62

964 *ξένων γὰρ ἐξόμιλος*: ἐκ τῆς βαδίσεως συνῆκεν τὸ φαινόμενον ἄθροισμα ξένων ἀνδρῶν εἶναι· † οἷον βάδισις ξένων ἀνδρῶν ἐστι καὶ ἄλλου πλήθους συνέστηκεν. † L T

1 lm. deest in T, quippe qui hoc sch. cum sch. **963** copulet (ἐκ τῆς βαδίσεως δέ); accuratiss. 964 *ξένων – βάσις* **2** ξένων] τῶν ξ. T **2** εἶναι – fin. om. T post ἐστι add. ὁ γὰρ στόλος ἐξ Εὐβοέων Wolff 144 post καὶ add. ἐξ Bernardakis 62 (cf. Blaydes 208) καὶ – fin.] ἡ <ἐξ> ἄλλου πλήθους συνεστηκυῖα temptavi

965 *πᾷ δ᾽ αὖ φορεῖ νιν;*: ποῦ, φησί, καὶ φέρει αὐτὸν ὁ ὅμιλος; ὡς γὰρ ὑπὲρ φίλου κηδομένην ἄψοφον φέρει τὴν βάσιν. L T

1 lm. deest in T; accuratiss. 965–7 *πᾷ – βάσιν* καὶ om. T **2** ἄψοφον post βάσιν transp. T

968 (*ἄναυδος*): μηδὲ φωνὴν προέσθαι δυνάμενος. L T

1 lm. add. Lascaris μηδὲ] μὴ δὲ T

969 *τί χρή, θανόντα νιν*: τί, φησί, δεῖ κρῖναι περὶ αὐτοῦ καὶ τί ἄν τις δοξάσειεν; πότερον τέθνηκεν ἢ ὕπνῳ βεβάπτισται; L T

1 lm. deest in T; accuratiss. 969–70 *τι χρή – κρῖναι;*

971–2 (*ὤμοι – μέλεος*): Ἄλλος ἀπαντήσας τῷ πατρὶ θρηνεῖ. L T

1 lm. addidi Ἄλλος] ὁ Ἄλ. T ἀπαντήσας] ὑπαντήσας T

973 (*τί δὲ μήσομαι;*): τί τεχνάσομαι ὅπως σωθείης; L T$^{s.l.}$

1 τεχνάσομαι: cf. Hesych. μ 1147 μήδεσθαι· τεχνήσασθαι

1 lm. add. Elmsley τί om. T de forma τεχνάσομαι vide ad sch. **831–2.**3 σωθείης] de modo vide ad sch. *El.* 526.3

974 *σίγα, τέκνον*: γέρων τις ἀκολουθῶν τῷ Ἡρακλεῖ ἀπὸ Εὐβοίας πρὸς τὸν Ὕλλον φησί· μὴ ἀνεγείρῃς αὐτόν. τοῦτο γὰρ αἴτιον ὀδύνης τοῖς κάμνουσιν. L T

1 lm. deest in T; accuratiss. 974–5 *σίγα - πατρός*

975 (*ὠμόφρονος*): ἐκ τῶν ὀδυνῶν ἠγριωμένου. L

1 lm. add. Brunck^{2}

976a *ζῇ γὰρ προπετής*: *προπετὴς* εἰς τὸν θάνατον προνενευκὼς ἢ παρειμένος. L T

1 προνευνευκώς: cf. sch. Eur. *Alc.* 909 ἤδη προπετὴς ὤν: ἤδη προνενευκὼς ἐπὶ τὰς πολιὰς χαίτας...; id. *Hec.* 150 (ad lm. *τύμβῳ προπετῆ*): προνενευκυῖαν

1 lm. deest in T, quippe qui hoc sch. cum sch. **974** coniungat (*προπετὴς* δὲ)

976b (*προπετής*): εἰς τὴν γῆν πεσὼν ἢ ἐπὶ πρόσωπον κοιμώμενος ἢ καὶ μόνον κείμενος. L T

1 εἰς τὴν γῆν πεσών: cf. sch. **701** ἐπὶ πρόσωπον: cf. sch. Eur. *Alc.*909 … τῷ ὄντι γὰρ οἱ γέροντες προπετεῖς εἰσιν, ἐπὶ πρόσωπον φερόμενοι

1–2 haec cum sch. pr. coniuncta (καὶ εἰς T: sine voce coniunctiva L) separatim posui
1 lm. addidi τὴν om. T **1** κοιμώμενος – **2** μόνον om. T

980 (*φοιτάδα*): τὴν μανιώδη. L[s.l.] T[s.l.]

cf. sch. *Ai.* 59a ἐγὼ δὲ φοιτῶντ΄ ἄνδρα μανιάσιν νόσοις: ἤτοι μαινόμενον· φοῖτος γὰρ ἡ μανία…

1 lm. add. Brunck[2] τὴν om. T

981 *ἀλλ΄ ἐπί μοι μελέῳ*: ἀλλ΄ ἐνθουσιᾷ μοι τῷ μελέῳ ἡ φρὴν διὰ τὸ ἄπλετον βάρος. L T

1 lm. deest in T; accuratiss. 981–2 *ἀλλ΄ – φρήν*; scholiastam legisse *ἐμμέμηνε* pro *ἐμμέμονε* coni. Valckenaer 75[v] μοι T: με L

981–2 (*ἀλλ΄ – φρήν*): ἐν ἐπιθυμίᾳ, φησίν, ἔχω τὸ βάρος καὶ σιωπᾶν οὐ δύναμαι. L T

1 ἐν ἐπιθυμίᾳ ... ἔχω: cf. Hesych. μ 814 μέμονε· θέλει….

1–2 haec a sch. pr. separavi; nam h.l. alio modo ordo verborum construitur: *φρὴν ἐμμέμονε ἄπλετον βάρος ἐπί μοι μελέῳ* **1** lm. addidi

983–4 *ὦ Ζεῦ, | ποῖ γᾶς ἥκω;*: Ἡρακλῆς ὡς ἐξαναστὰς καὶ ἀγνοῶν ποῦ μετενήνεκται. L T

1 lm.] ὦ Ζεῦ T Ἡρακλῆς] Ἡρ. ταῦτα φησὶν T

987 (*ἡ δ΄ αὖ μιαρὰ βρύκει*): ἐσθίει με ἡ νόσος καὶ ἀναλίσκει. L; cf. gll. in T[s.l.]

cf. sch. *Ph.* 745 βρύκομαι] ἐσθίομαι, καταναλίσκομαι; sch. Ar. *Lys.* 367a βρύκουσα] ἐσθίουσα, δάκνουσα…; id. *Av.* 26 βρύκουσ΄] ἐσθίουσα; Hesych. β 1238 βρύκειν· λάβρως ἐσθίειν. ἀπὸ τοῦ τρίζειν τοὺς ὀδόντας. οἱ δὲ μασᾶσθαι; Su. β 573 Βρύκουσα: ἐσθίουσα, δάκνουσα; Eust. *Od.* II 195, 38–9 ὅρα τὸ βρύκων, ἤγουν τραχέως μετὰ ποιοῦ τινὸς ἤχου ἐσθίων, οὗ χρῆσις ἐν τοῖς τοῦ κωμικοῦ Ὄρνισιν

1 lm. addidi; (*ἡ δ´* s.) L **1** ἐσθίει – fin.] νόσος gl. ad *ἡ δ´ αὖ* et ἐσθίει καὶ ἀναλίσκει gll. ad *βρύκει* nec plura T

988 *ἆρ´ ἐξῄδης*: πρὸς τὸν Ὕλλον λέγει· ἆρα, φησίν, ὅσον ἦν κέρδος τὸ σιωπᾶν ἔγνως καὶ μὴ διασκεδάσαι τὸν ὕπνον; L T

1 lm. deest in T; accuratiss. 988–91 *ἆρα – ὕπνον;* λέγει] φησὶν T ἆρα T: ἄρα L φησὶν om. T **2** ἔγνως ante ὅσον transp. T διασκεδάσαι] δ. ἀπ´ αὐτοῦ T

991 *οὐ γὰρ ἔχω πῶς ἄν*: ἀδυνάτως ἔχω καρτερεῖν ἐπὶ τηλικούτῳ κακῷ. L T

1 lm. deest in T, quippe qui hoc sch. cum sch. **988** coniungat praefixis verbis ὁ δὲ φησίν; accuratiss. 991–2 *οὐ γάρ – λεύσσων*

993 *ὦ Κηναία κρηπίς*: *κρηπίς* τὸ ἔδαφος, περιφραστικῶς δὲ ἀντὶ τοῦ ὦ Κήναιον· μέμφεται δὲ τῷ τόπῳ ὅτι οὐκ ἐπὶ αἰσίοις αὐτῷ γέγονεν τὰ ἐκεῖ θύματα· οἷαν οὖν, φησί, χάριν ἀπὸ τῶν θυμάτων διεπράξω! L T; cf. etiam gll. in T$^{s.l.}$

1 lm. deest in T; scholiastae defuisse ἀντί coni. Hermann 171; accuratiss. 993–5 *ὦ – ἠνύσω* (*ὦ Ζεῦ* cum sequentibus coniunxit scholiasta) **1** *κρηπίς* (alt.) – **2** Κήναιον] haec om. in margine, sed retractata περιφραστικῶς ἀντὶ τοῦ ὦ Κήναιον ἔδαφος ut gl. ad *ὦ Κηναία κρηπὶς βωμῶν* praebuit T **2** δὲ om. T, quippe qui priorem partem scholii a reliqua enarratione seiunxisset τῷ τόπῳ] τὸν τόπον T **3** οἷαν οὖν, φησί,] καί φησι, οἷαν T

995–6 *ὦ Ζεῦ,* | *οἷαν μ´ ἄρ´ ἔθου λώβαν*: οἷαν μοι, φησί, προσετρίψω βλάβην, ὦ Ζεῦ, τὴν ταῖς μανίαις ἀκμάζουσαν· λέγει δὲ ταῦτα ἀφορῶν εἰς τὸ ἑαυτοῦ σῶμα. L T

2 βλάβην: cf. sch. Hom. *Od.* 2.323c … ὅθεν καὶ λώβη ἡ βλάβη …; sch. D Hom. *Il.* 19.208; Hesych. λ 1483 λώβη· βλάβη …; ibid. λ 1481 λώβας· βλάβας …; ibid. μ 627 … λῶβαι· … βλάβαι; Σ λ 172 λώβη· βλάβη … = Phot. λ 498

1 lm. scripsit Wolff 11: *οἵαν ἀνθ΄ οἵων θυμάτων* (v. 994) L: deest in T; accuratiss. 995–9 *ὦ Ζεῦ – καταδερχθῆναι* post οἵαν add. ἀνθ΄ οἵων T φησί om. T **2** ταῖς μανίαις] ἐν μανίαις T

998 (*ἀκήλητον*): ἀνίατον, ἀκαταπράυντον· ἀπὸ κοινοῦ δὲ τὸ *ὤφελον*. L T[s.l.]

1 lm. add. Brunck[2] **1** ἀπὸ – fin.] om. T; i.e. *ὤφελον* spectat ad *προσιδεῖν* et *καταδερχθῆναι*

999 (*μανίας ἄνθος*) *καταδερχθῆναι*: θεωρῆσαι, ἰδεῖν τὴν ἀκμὴν τῆς μανίας. L

1 cf. sch. **1089** ubi *ἤνθηκεν* per ἤκμασεν explicatur

1 lm. L supplevi

1000 *τίς γὰρ ἀοιδός*: τίς, φησίν, ἐπῳδὸς ἢ ἰατρὸς διὰ χειρῶν τὴν τέχνην τῆς ἰατρικῆς ἐνδεικνύμενος θεραπεύσει τὸ πάθος μου, εἰ μὴ ὁ Ζεὺς βούλοιτο; L T

1 lm. deest in T; accuratiss. 1000–2 *τις γάρ – κατακηλήσει;*

1003a *θαῦμ΄ ἂν πόρρωθεν*: ἥδιστα ἄν, καὶ εἰ μακρόθεν μεταπέμψοιτό τις τὸν θεραπεύσοντα, θεασαίμην. L T

1–2 sch. **1003a** et **1003b** in unum composita ita retractavit T: ἥδιστα ἄν, φησί, θεασαίμην εἰ μακρόθεν τὸν θεραπεύσοντα μεταπέμψαιτό τις ὑμῶν ἥδιστα] ἥκιστα Wolff 200 μεταπέμψοιτο] μεταπέμψαιτο T **2** θεραπεύσοντα T: θεραπεύσαντα L

1003b (*πόρρωθεν*): μεταπεμψαμένων ὑμῶν. L

1 haec a sch. pr. seiunxi lm. addidi in initio scholii subauditur λείπει

1005a (*δύσμορον*): γράφεται *ὕστατον*. L

1 lm. add. Lascaris γρ. L

1005b (*εὐνᾶσαι*): ἢ τὸ καθευδῆσαι ἢ τὸ ἀποθανεῖν. L T$^{s.l.}$

1 lm. add. Lascaris; (*εὐνᾶσαι* s.) L ἢ τὸ (pr.) om. T τὸ (alt.) om. T

1007a^{1} *πᾷ μου ψαύεις;*: ὡς ἐφαπτομένου αὐτοῦ τοῦ παιδὸς ἐπὶ τῷ γνῶναι πῶς ἔχει τῷ σώματι. *ποῖ ψαύεις* ἀντὶ τοῦ παῦε ψηλαφῶν καὶ μεταφέρων τῇδε κἀκεῖσε τὸ σῶμά μου. L

2 *ψαύειν* per ψηλαφᾶν explanatur etiam in Hesych. ψ 77 ψαύεται· ψηλαφᾶται

(lm) **2** ἀντὶ τοῦ – fin. ad 1007 *πᾷ – κλίνεις;* spectat **1** scholiastam *κινεῖς* apud poetam pro *κλίνεις* legisse e μεταφέρων (3) coni. Zielinski 57 coll. etiam sch. **1009a**.1 et sch. **1010a**.1, sed coniectura necessaria non esse videtur ἐπὶ τῷ Stephanus 367: ἐπὶ τὸ L

1007a^{2} (*πᾷ μου ψαύεις;*): ποῦ προσάγεις τὰς χεῖρας; L T$^{s.l.}$

1 lm. addidi χεῖρας] χ. σοῦ T

1009a *ἀντέτροφας*: ὅ τι ἂν ἡσυχάσῃ τοῦ κακοῦ τούτου, πάλιν κινήσας ἀνέτρεψας. L

1 lm. accuratiss. 1008 *ἀντέτροφας – μύσῃ* **2** ἀνέτρεψας Lascaris: ἀνατρέψας L

1009b (*ἀντέτροφας – μύσῃ*): οἷον ὅ τι ἂν τῶν ὀδυνῶν παύσῃ, τοῦτο διήγειρας. L

1–2 haec a sch. pr. separavi **1** lm. addidi παύση L: supra παύση praebet μύση L

1010a (*ἧπταί μου*): τὸ κινηθῆναι ὑπὸ σοῦ καθήψατό μου. L; cf. gll. in T[s.l.]

1 lm. add. Elmsley τὸ κινηθῆναι – fin.] καθήψατο gl. ad *ἧπταί μου* et ἐν τῷ κινηθῆναί με ὑπὸ σοῦ gl. ad *ἤδ᾽ αὖθ᾽ ἕρπει* nec plura T

1010b (*ἤδ᾽ αὖθ᾽ ἕρπει*): ἡ νόσος, φησί, πάλιν ἐπίκειται. L

1 lm. add. Elmsley; (*ἤ δ᾽* s.) L

1010–1 *πόθεν ἔστ᾽, ὦ* | *Ἕλλανες πάντων*: οὐ πρὸς τοὺς φέροντάς φησιν ἀλλὰ καθόλου πρὸς πάντας τοὺς εὐεργετηθέντας πρῴην ὑπ᾽ αὐτοῦ. ποῦ, φησίν, ἆρα ἐστέ, ὦ πάντων Ἕλληνες ἀδικώτατοι, τουτέστιν ἀχα-ριστότατοι, οὓς ἐγὼ πῇ μὲν κατὰ θάλατταν πῇ δὲ ἐν γῇ σῴζων, πάντα τόπον καθαίρων ὑπὲρ σωτηρίας ἐκείνων, ἐγγὺς θανάτου ἐγενόμην; τὴν δὲ ἐκ τόπου σχέσιν εἶπεν ἀντὶ τῆς ἐν τόπῳ ὡς

σχεδόθεν δέ οἱ ἦλθεν Ἀθήνη

ἀντὶ τοῦ σχεδόν. L T

5 τὴν δὲ ἐκ τόπου –fin.: cf. Apollon. Dysc. *Adv.* 185, 23 – 186, 1; ibid. 208, 30 – 209, 3; id. *Pron.* 66, 20 – 67, 2; sch. *Ant.* 521… Αἴας <δ᾽> ἐγγύθεν (H 219) ἦλθε ἀντὶ τοῦ ἐγγύς…; sch. Hom. *Od.* 2.267c. σχεδόθεν: πλησίον, ἐγγύς… **7** Hom. *Od.* 2.267, 13.221, 20.30

1 lm. ex L: deest in T; pars ποῦ (3) – fin. ad 1010–3 *πόθεν ἔστ᾽ – ὠλεκόμαν ὁ τάλας* spectat (lm.) *Ἕλλανες πάντων* Sophocli restituit Koechly (*ZA* 9 (1842) 787) et hoc vel simile quid pro *πάντων Ἑλλάνων* (L) legisse scholiastam conicias φέροντας] φ. αὐτὸν T **3** φησίν om. T ἆρα] ἄρα T ἐστέ ante ἆρα transp. T Ἕλληνες scripsi: Ἑλλήνων codd. **4** οὓς] malim οἷς sed scholiasta eo quod in libro suo invenit, i.e. οὕς, utitur ἐν γῇ] κατὰ γῆν T σῴζων scripsi: ἔσῳζον L, quo recepto post πάντα add. τε

Bernardakis 62: ἔσῳζον καὶ T **5** ἐκείνων] ὑμῶν T ἐγενόμην] ἐγινόμην Bernardakis 62, at cf. sch. **1013a.**1 **6** ὡς] ὡς τὸ T

1010 (*πόθεν*): ἀντὶ ποῦ. L[s.l.]

vide sch. **1010–1.**6 τὴν δὲ – fin.

1 lm. add. Elmsley

1013a (*ὠλεκόμαν*): ἔκαμνον καὶ ἐγγὺς θανάτου ἐγενόμην. L T[s.l.]

1 lm. add. Brunck[2] ἐγενόμην] ἐγινόμην T, coni. iam Bernardakis 62, at cf. sch. **1010–1.**5

1013b *καὶ νῦν ἐπὶ τῷδε νοσοῦντι*: καὶ νῦν, φησίν, οὐδεὶς ἐκείνων ἐπ᾽ ἐμοὶ νοσοῦντι οὐ πῦρ, οὐ ξίφος σωτήριον προσαγαγὼν ἀπαλλάξει με τοῦ ζῆν; L T

1 lm. deest in T; accuratiss. 1013–4 *καὶ νῦν – τρέψει;* καὶ – ἐκείνων] οὐδείς φησι νῦν ἐκείνων T

1013c (*τῷδε*): δεικτικῶς ἀντὶ ἐμοί. L T[s.l.]

δεικτικῶς: cf. sch. Aesch. *Th.* 651f τῶνδε] γράφεται τῷδε, ἤγουν ἐμοὶ δεικτικῶς; sch. Eur. *Alc.* 1090 (ad lm. *τῷδε*) δεικτικῶς, ἐμοί; id. *Med.* 1337 (ad lm. *τῷδε*) δεικτικῶς ἀντὶ τοῦ ἐμοὶ …

1 lm. add. Elmsley; (*ἐπί* s.) L ἀντὶ] ἀν. τοῦ T

1014a (*οὐ πῦρ*): λείπει *προσαγαγών*. L

1 lm. add. Elmsley

1014b (*ὀνήσιμον*): ὠφελήσιμον, σωτήριον. L$^{s.l.}$ T$^{s.l.}$

Su. o 356 Ὀνήσιμος: ὠφέλιμος...

1 lm. add. Elmsley

1015 *οὐδ᾽ ἀπαράξαι*: οὐδεὶς ἐκείνων, φησί, βούλεται ἐλθὼν τὴν κεφαλήν μου ἀποτεμεῖν καὶ ἐλευθερῶσαι τοῦ μοχθηροῦ βίου. L; cf. gll. in T$^{s.l.}$

2 ἀποτεμεῖν: cf. Hesych. α 5792 ἀπάραξεν· ἀπέτεμεν

1 (lm.) *ἀπαράξαι* Λ: *ἀπαρά*$^{\xi}$ compendiose L (*ἀπαράξαι* apud poetam); accuratiss. 1015–6 *οὐδ᾽ – στυγεροῦ* **1** οὐδεὶς – **2** ἀποτεμεῖν] ἀποτεμεῖν gl. ad *ἀπαράξαι* nec plura T **2** καὶ – fin.] μοχθηροῦ, μισητοῦ gll. ad *στυγεροῦ* nec plura T

1017 (*ὦ παῖ*): εἷς τῶν γερόντων ἀκολουθῶν ἐξ Εὐβοίας τῷ Ἡρακλεῖ πρὸς τὸν Ὕλλον φησί. L

1 lm. add. Elmsley

1018a *τοὖργον τόδε μεῖζον ἀνήκει*: τὸ βοηθῆσαι ἢ βαστάξαι τὸν Ἡρακλέα μεῖζόν ἐστιν ἢ κατ᾽ ἐμέ. L; cf. gl. in T$^{s.l.}$

1 lm. accuratiss. 1018–9 *τοὖργον – ῥώμην* τὸ – fin.] τὸ βοηθῆσαι ἢ βαστάσαι αὐτὸν gl. ad *τοὖργον τόδε* nec plura T

1018b *ἀνήκει* [δὲ] ἀντὶ ὁρμᾷ· ὤξυνται μεῖζον, φησίν, ἢ κατὰ τὴν ἐμὴν δύναμιν· *τοὖργον* δὲ τὴν νόσον φησί. L; cf. gl. in T$^{s.l.}$

1–2 haec a sch. **1018a** separavi; nam h.l. *τοὖργον* de morbo accipitur et *ἀνήκει* sensu ὁρμᾷ, ὤξυνται explanatur **1** δὲ delevi *ἀνήκει* – fin.] ἀντὶ ὁρμᾷ gl. ad *ἀνήκει* nec plura T

1019 *σὺ δὲ σύλλαβε*: σὺ γὰρ νέος εἶ καὶ ὀξύτερόν σοι τὸ ὄμμα πρὸς τὸ σῴζειν τὸν πατέρα μᾶλλον ἢ δι᾽ ἐμοῦ. L

1 lm. accuratiss. 1019–20 *σὺ δέ – σῴζειν*

1020a (*ἔμπλεον*): ὀξύτερον. L$^{s.l.}$ T$^{s.l.}$

1 lm. add. Elmsley (lm.) apud poetam habet *ἔμπλεων* T

1020b *ψαύω μὲν ἔγωγε*: εἰ τὸ κατασχεῖν αὐτὸν ἰᾶται, ἰδοὺ ἐφάπτομαι αὐτοῦ, ἴσθι δέ, φησίν, ὅτι τὴν λαθίπονον ἴασιν τῶν ὀδυνῶν οὔτε διὰ στόματος οὔτε ἔξωθεν προσάπτειν δύναμαι· οὐκ οἶδα γάρ· τοιαῦτα γὰρ ἀλγήματα δίδωσιν ὁ Ζεύς. L

1 lm. accuratiss. 1020–2 *ψαύω – Ζεύς*; scholiastam *ὀδυνᾶν* pro *ὀδύναν* legisse e 3 τῶν ὀδυνῶν conclusit Wolff 62 et *λαθίπονον* pro neutro adiectivi pro substativo positi habuisse (i.e. τὸ λαθίπονον) **2–3** διὰ στόματος] optime defendunt Bernardakis 62 et Wansink 110 haec annotans: scholiasta '*ἔνδοθεν et θύραθεν accepit de medicamentis quae aut per os imbibuntur et intus adhibentur aut corpori oblinuntur et exterius applicantur*'; scripturam libri defendit etiam Zielinski 57

1021–2 (*λαθίπονον – βιότου*): τὴν ὀδύνην τοῦ βίου αὐτοῦ τὴν λαθίπονον ἐξανύσαι οὐ δύναμαι. L T

1 lm. addidi; hunc interpretem *ὀδύναν*, non *ὀδυνᾶν*, legisse coni. Wolff 62 αὐτοῦ – fin.] αὐτοῦ, φησίν, οὐ δύναμαι λαθίπονον ἐξανύσαι T

1021a (*λαθίπονον δ᾽ ὀδυνᾶν*): λείπει φάρμακον. L

1 lm. add. Papageorgiou; grammaticum *ὀδυνᾶν* pro *ὀδύναν* apud poetam invenisse coni. Wolff 62 φάρμακον Neue 590 prob. Wolff l.c.: φαρμάκου L

1021b *οὔτ᾽ ἔνδοθεν οὔτε θύραθεν*: οὔτε ἀπ᾽ ἐμαυτοῦ οὔτε ἀπό τινος τῶν ξένων δύναμαι ἐξανύσαι. L T

1 ἀπὸ – **2** ξένων: cf. Hesych θ 927 θυρεός· …καὶ <θυραῖος> ὁ ξένος…; ibid. θ 925 θυραία· … ξένη; Su. θ 603 θυραῖος: ξένος …

1 lm. scripsi post Wolff 62 qui scholiastam *θύραθεν* pro *θύραζε* legisse coniecerat: *οὔτ᾽ ἔνδοθεν οὔτε θ*^{ν} (compendiose) L: deest in T, quippe qui hoc sch. cum sch. **1021–2** coniungat **2** δύναμαι ἐξανύσαι om. T

1021c (*ἔνδοθεν*): διὰ στόματος. L$^{\text{s.l.}}$

1 lm. add. Elmsley διὰ στόματος] vide ad sch. **1020b.**2–3

1023 (*ὦ παῖ*): αἰσθάνεται τῆς τοῦ παιδὸς φωνῆς ὁ Ἡρακλῆς. L T

1 lm. addidi

1028a (*θρῴσκει*): ἀναζωπυρεῖται ἡ νόσος. L T$^{\text{s.l.}}$

1 lm. add. Lascaris ἀναζωπυρεῖται] ἀναζωοποιεῖται T

1028b (*δειλαία*): δειλοποιός. L$^{\text{s.l.}}$ T$^{\text{s.l.}}$

1 lm. add. Lascaris

1030 (*ἀποτίβατος*): ἀπροσπέλαστος. L$^{\text{s.l.}}$ T$^{\text{s.l.}}$

1 lm. add. Lascaris

1031a (*ἰὼ Παλλάς*): ἐπικαλεῖται τὴν Ἀθηνᾶν εἰς βοήθειαν. L T[s.l.]

1 lm. add. Lascaris

1031b *ἰὼ παῖ*: κἂν σύ, ὦ παῖ, τὸν φύσαντα οἰκτείρας ἐπίσπασαί μοι ξίφος ἀνεμέσητον, ἐφ᾽ ᾧ οὐδείς σε μέμψεται ὡς πατροκτόνον. L; cf. gll. in T[s.l.]

1 ἐπίσπασαι: cf. e.g. sch. Hom. *Il.* 1.190 ἐρυσσάμενος: σπασάμενος; sch. D Hom. *Il.* 1.190 ἐρυσσάμενος: σπασάμενος; ibid. 3.271 ἐρυσσάμενος: σπασάμενος; Hesych. ε 6041 ἐρυσάμενος· σπασάμενος (A 190)

1 lm. accuratiss. 1031–4 *ἰὼ παῖ – ἔγχος* κἂν – fin.] ἀνεμέσητον gl. ad *ἀνεπίφθονον*, ἐπίσπασαί μοι gl. ad *εἴρυσον* et ξίφος gl. ad *ἔγχος* nec plura T

1036a[1] (*ἐχόλωσεν*): ἐπίσσωσεν. L[s.l.]

1 lm. add. Elmsley

1036a[2] (*ἐχόλωσεν*): γράφεται *ἐχόλησεν*, οἷον χολῇ ἔχρισε τὸν χιτῶνα. L

1 lm. deest in L γρ. L

1038–9 (*ἂν ὧδ᾽ – αὔτως*): ἣν ἴδοιμι τῷ αὐτῷ νοσήματι περιπεσοῦσαν. L; cf. gl. in T[s.l.]

1 lm. addidi; (*ἂν* s.) L τῷ αὐτῷ νοσήματι] τῷ αὐτῷ νοσήματι gl. ad *ὧδ᾽ ἐπίδοιμι* nec plura T

1039 (*αὔτως*): ὁμοίως. L$^{s.l.}$

1 cf. sch. Hom. *Il.* 4.17b … αὔτως …: ἀντὶ τοῦ ὁμοίως …; ibid. 1.133b; ibid. 24.413a; id. *Od.* 16.143 αὔτως] … ἀντὶ τοῦ ὁμοίως …; sch. D Hom. *Il.* 2.138 αὔτως: … ὁμοίως; ibid. 3.220 αὔτως: … ὁμοίως; ibid. 3.339; ibid. 19.195; sch. Ap. Rh. 133, 7

1 lm. add. Elmsley, nisi quod *αὕτως* pro *αὔτως* scripsit; αὕτως, cum spiritu aspero, apud poetam praebet L

1041 *ὦ Διὸς αὐθαίμων*: ὦ τοῦ Διὸς ἀδελφέ, Ἀϊδωνεῦ. L

1 cf. Hesych. α 8258 αὔθαιμοι· ἀδελφοί (Soph. OC 1078); Phot. α 3167 αὔθαιμος· ... αὐθαίμων δὲ Σοφοκλῆς (Tr. 1041); Su. α 4423 αὔθαιμοι: οἱ ἀδελφοὶ

1042 (*ὠκυπέτᾳ*): ταχεῖ. L$^{s.l.}$ T$^{s.l.}$

1 cf. sch. D Hom. *Il.* 8.42 ὠκυπέτα: ὠκυπέτας, ταχεῖς; Σ ω 15 ὠκυπέτας: τοὺς ταχεῖς = Su. ω 56

1 lm. add. Elmsley

1049 (*στυγνός*): στυγνοποιός, διὰ τὰς τῶν ἄθλων προστάξεις. L T$^{s.l.}$

1 lm. add. Elmsley; (*στυγνός* s.) L ὁ στυγνοποιὸς διὰ τὰς τῶν ἄλλων (sic) προσταγάς T

1052 (*ἀμφίβληστρον*): τὸν χιτῶνα ὡς ἀμφίβληστρον. L; cf. gl. in T$^{s.l.}$

1 lm. add. Lascaris τὸν – fin.] τὸν χιτῶνα λέγει gl. ad *ἀμφίβληστρον* nec plura T

1053 (*προσμαχθέν*): προσκολληθέν. L[s.l.] T[s.l.]

1 προσκολληθέν: cf. sch. Ar. *Eq.* 815c προσέμαξεν: … προσεκόλλησεν; Su. π 2636 προσέμαξε: προσεκόλλησε

1 lm. add. Lascaris

1054 (*ἀρτηρίας*): τὰς φλέβας. L[s.l.]

1 cf. Erot. φ 3 φλεδονώδεα ...φλέβας γὰρ οἱ ἀρχαῖοι καὶ τὰς ἀρτηρίας ἐκάλουν; ἀρτηρίαι ab φλέβες distinguuntur in sch. Eur. *Hec.* 567 (*πνεύματος διαρροάς*): τὰς ἀρτηρίας. τὰς φλέβας. διαφέρει δὲ ἀρτηρία φλεβὸς ταύτῃ, τῷ τὴν ἀρτηρίαν μὲν ὀλίγον ἔχειν αἷμα, πνεῦμα δὲ πολύ, τὴν δὲ φλέβα τὸ ἐναντίον τὸ μὲν αἷμα πολὺ, τὸ δὲ πνεῦμα ὀλίγον ὡς πρὸς σύγκρισιν τοῦ ἐν τῇ ἀρτηρίᾳ

1 lm. add. Lascaris

1055a (*ῥοφεῖ*): ἐκπίνει. L[s.l.] T[s.l.]

1 cf. Hesych. ρ 456 ῥοφεῖ· καταπίνει (Soph. Trach. 1055)…

1 lm. add. Lascaris

1055b (*χλωρόν*): νέον ἢ νεκρόν. L[s.l.] T[s.l.]

1 νέον: vide ad sch. **847b** fortasse recte

1 lm. add. Elmsley ἢ νεκρόν om. T νεκρόν] νεαρόν Bernardakis 62 (cf. sch. **847b**)

1057a *ἀφράστῳ*: ἀπροσδοκήτῳ, ἀνεννοήτῳ ἢ ἀλέκτῳ· ἢ περὶ ἧς οὐκ ἔχει τις φράσασθαι τίς εἴη τὴν φύσιν. L T

1 ἀπροσδοκήτῳ: cf. sch. Eur. *Hipp.* 820 κηλὶς ἄφραστος: κακὸν ἀπροσδόκητον; sch. Ap. Rh. 190, 22 ἀφράστοιο: ἀπροσδοκήτου ἀνεννοήτῳ: cf. Hesych. α 8759 ἄφραστον· ἀπρονόητον, ὥστε μηδένα νοῆσαι... ἀλέκτῳ: vide ad sch. **694.**1

1 lm.] *ἀφράστῳ τῇδε χειρωθείς* L ἢ (pr.) om. T **2** φράσασθαι] φράσαι T εἴη (de modo cf. sch. **552.**2 σχοίην)] ἐστι T

1057b (*πέδῃ*): ἐποχῇ, ἥττῃ. L$^{s.l.}$

1 lm. add. Elmsley

1058a *κοὐ ταῦτα λόγχη πεδιάς*: ἡ ἐν τῷ πεδίῳ βαλλομένη· ἢ ἐπεὶ ἐν τῷ Θεσσαλικῷ πεδίῳ ἐμαχέσατο πρὸς Κενταύρους. L T

1 lm.] *λόγχη πεδιάς* T; accuratiss. 1058 *πεδιάς* **2** Θεσσαλικῷ] Θετταλικῷ T Κενταύρους] Κεν. τοῦτο λέγει T

1058b *λόγχη πεδιάς*: ἡ ἐν πεζομαχίᾳ. θέλει γὰρ εἰπεῖν ὅτι οὔτε παρατττόμενος οἷον πρὸς Λαομέδοντα οὔτε πρὸς Αὐγέαν ἢ Κενταύρους. L T

1 lm.] ἢ *πεδιὰς* T, quippe qui hoc sch. scholio **1058a** subiungat **2** Λαομέδοντα] τὸν Λ. T οὔτε] ἢ Zielinski 57, sed οὔτε tolerandum est Αὐγέαν] τὸν Αὐγείαν T Κενταύρους] τοὺς Κ. T

1059 *θήρειος βία*: λέοντος, ὕδρας, Κερβέρου καὶ τῶν λοιπῶν. L T$^{s.l.}$

1 (lm.) *θήρειος* (sicut apud poetam) T: *θήριος* (sicut apud poetam) L post λέοντος add. ταύρου T

1060 (*ἄγλωσσος*): κακόγλωσσος, βάρβαρος ἢ ἀλλόγλωσσος. L T[s.l.]

1 βάρβαρος: cf. Poll. II 109 Σοφοκλῆς δὲ ἄγλωττον τὸν βάρβαρον; Hesych. α 626 ἄγλωσσοι· βάρβαροι

1 lm. add. Brunck[2]; (*ἄγλωσσος* s.) L κακόγλωσσος et ἢ om. T

1064 *ὦ παῖ*: ὦ Ὕλλε, δεῖξον τοῖς ἔργοις ὅτι ἀληθῶς ἐξ Ἡρακλέους ἔχεις τὸ γένος καὶ μή μου προκρίνῃς τὴν Δηιάνειραν, ἀλλὰ ταῖς σαῖς χερσὶ τῆς οἰκίας αὐτὴν ἔξαγε καὶ παράδος μοι. ταῦτα δὲ ἀγνοῶν ὅτι τέθνηκεν. L T

1 *ἐτήτυμος* per ἀληθής explanatur in e.g. sch. Hom. *Od.* 1.174c1 ἐτήτυμον: ἀληθές, ἀληθῶς; ibid. 1.174c2 ἐτήτυμον] ἀληθῶς; sch. D Hom. *Il.* 1.558 ἐτήτυμον: ἀληθές; Hesych. ε 6596 ἐτήτυμον· ἀληθές (A558) ἢ ἀληθῶς; ibid. ε 6606 ἐτήτυμος· ἀληθής; ibid. ε 6607 ἐτητύμως· ἀληθῶς; ibid. ε 6623 ἐτήτυμα· ἀληθῆ; Su. ε 3311 ἐτήτυμος: ὁ ἀληθής

1 lm. deest in T; accuratiss. 1064–7 *ὦ παῖ – τεκοῦσαν* ὦ Ὕλλε – **3** μοι om. T **3** ἔξαγε] ἐξάγαγε Bernardakis 62, sed vide ad sch. **953.**3–4 ταῦτα – fin.] haec ita reformavit T: ἀγνοῶν ἔτι ὅτι τέθνηκεν ταῦτα λέγει T

1067 *ὡς εἰδῶ σάφα*: ἵνα μάθω πότερον ὑπὲρ ἐμοῦ νοσοῦντος λυπῇ <ἢ> ὅταν ἴδῃς τὸ σῶμα τῆς Δηιανείρας παρ᾽ ἐμοῦ βλαπτόμενον καὶ δικαίως καταπονούμενον. L

1 lm. accuratiss. 1067–9 *ὡς εἰδῶ – κακούμενον* ἢ add. Papageorgiou

1071 *ὅστις ὥς τις παρθένος*: Ὅμηρος

ἠΰτε κούρη
νηπίη, ἥ θ᾽ ἅμα μητρὶ κλαίουσ᾽ ἀνελέσθαι ἀνώγει. L T

1 Ὅμηρος: Il. 16. 7–8 τίπτε δεδάκρυσαι Πατρόκλεες, ἠΰτε κούρη | νηπίη, ἥ θ᾽ ἅμα μητρὶ θέουσ᾽ ἀνελέσθαι ἀνώγει

1 lm. deest in T; accuratiss. 1071–2 *ὅστις – κλαίων* (lm.) *ὥς τις*, ut apud poetam L
3 *νηπίη*] νήπιος T *ἥ* – fin. om. T

1072 (*βέβρυχα*): ἀναβοῶ. L[s.l.]

cf. sch. **805** ubi *βρυχώμενον* per ἀνοιμώζοντα explicatur

1 lm. add. Elmsley

1074 (*αἰὲν εἰπόμην κακοῖς*): ὑπέφερον πᾶν κακόν. L[s.l.] T[s.l.]

1 lm. add. Elmsley; auctorem scholii *εἰπόμην* pro *ἑσπόμην* legisse coni. Wolff 62 (cf. sch. *Ai.* 318)

1075 *νῦν δ᾽ ἐκ τοιούτου*: ἐξ ἰσχυροῦ γέγονα ἀσθενής· ἢ ὑπὸ τοιούτου κακοῦ. L T

1 *θῆλυς* per ἀσθενής explanatur etiam in sch. Eur. *Med.* 928 γυνὴ δὲ θῆλυ: ἀντὶ τοῦ· ἀσθενὲς τὸ γυναικεῖον γένος πέφυκε …; Hesych. θ 488 θῆλυ· ἀσθενές (Eur. *Med.* 928)

1 lm. deest in T; 1075 *νῦν – εὕρημαι* ἰσχυροῦ] ἰσχ., φησί, T

1077 (*σκέψαι*): σκόπει. L[s.l.] T[s.l.]

1 lm. add. Elmsley

1079 (*θεᾶσθε πάντες*): ὁ λόγος πρὸς τοὺς περιεστῶτας. L T

1 lm. addidi

1081 (*αἰαῖ*): ὀδυνώμενος ἀναβοᾷ. L T$^{s.l.}$

1 lm. add. Lascaris

1082 *ἔθαλψέ μ΄ ἄτης*: πάλιν ἐξεπύρωσέν με ὁ τῆς νόσου σπασμός. L; cf. gll. in T$^{s.l.}$

1 νόσου: vide ad sch. 1104

1 lm. ex L, nisi quod *ἔθαλψεν* pro *ἔθαλψέ μ΄* praebet; commentatorem *ἔθαλψέ μ΄* pro *ἔθαλψεν* legisse collegit Wunder 164; accuratiss. 1082 *ἔθαλψέ μ΄ – αὖ* πάλιν – με] ἐξεπύρωσεν gl. ad *ἔθαλψεν* nec plura T ὁ – fin.] τῆς νόσου gl. ad *ἄτης* nec plura T

1083–4 *οὐδ΄ ἀγύμναστόν μ΄ ἐᾶν* | *ἔοικεν*: ὀδύνης ἀπείραστον, ἄνετον ὀδυνῶν· ἀντὶ τοῦ οὐκ ἐνδίδωσί μοι. L T

1 ὀδύνης – **2** ὀδυνῶν] haec separavit et ad lm. *ἀγύμναστον* rettulit Bernardakis 62; reliquam enarrationem (2 ἀντὶ – fin) ad lm. *οὐδέ με ἐᾶν ἔοικεν* adscripsit **1** lm.] *ἀγύμναστον* T ὀδύνης] οὐκ ὀδ. T ἀπείραστον] ἄπειρον T ἄνετον] οὐκ ἄν. T

1086 (*ὦ Διὸς ἀκτίς, παῖσον*): ὦ κεραυνέ, εἴθε με βάλοις. L T

1 βάλοις: cf. sch. Ar. *Vesp.* 222a βαλλήσομεν: … οἷον παιήσομεν; sch. Hom. *Il.* 6.9a ἔβαλε: ὅτι ἀντὶ τοῦ ἔπαισε; ibid. 8.313c βάλε στῆθος: πρὸς τὸ βάλε ἀντὶ τοῦ ἔπαισεν; ibid. 8.299a βαλέειν: ὅτι ἀντὶ τοῦ παῖσαι τὸ βαλεῖν; ibid. 20.462a2 τὸ<ν> δὲ σχεδὸν <… τύψας>: σχέδην παίσας, ἀντέθηκε δὲ τὸ βαλών

1 sch. **1086** post sch. **1087** praebet T **1** lm. add. Elmsley βάλοις T (recepit Blaydes 234 prob. Nauck 434 et Kruytbosch 50): λάβοις L

1087 (*ἐγκατάσκηψον βέλος … κεραυνοῦ*): τόξευσον κατ΄ ἐμοῦ τὸν κεραυνόν. L$^{s.l.}$ T

1–2 de T vide ad sch. **1086.**1 **1** lm. addidi

1088 (*δαίνυται*): ἐσθίει με ἡ νόσος. L$^{s.l.}$

1 ἐσθίει: cf. sch. **771** ubi *ἐδαίνυτο* per κατήσθιεν explanatur; sch. D Hom. *Il.* 7.320 δαίνυντο: ἤσθιον

1 lm. add. Lascaris

1089 *ἤνθηκεν*, *ἐξώρμηκεν*: ἤκμασεν, ἀνεκάχλασεν καὶ ἐξεγήγερται. L T$^{s.l.}$

1 ἤκμασεν: cf. sch. **999** ubi *μανίας ἄνθος* per τὴν ἀκμὴν τῆς μανίας explanatur

1 lm. deest in T καὶ om. T

1089–90 *ὦ χέρες – βραχίονες*: ἀφορῶν εἰς ἓν ἕκαστον μέλος δυσφορεῖ ὅτι ἀφ᾽ οἵου οἷον γένονεν αὐτοῦ τὸ σῶμα. L T

1 lm. scripsi: *ὦ νῶτα καὶ στέρνα* L: deest in T ἓν Stephanus 369: ἕνα L: om. T μέλος] τῶν μελῶν αὐτοῦ T post δυσφορεῖ ita pergit T: ἀριθμεῖ δὲ τοὺς ἄθλους οὓς Εὐρυσθεῖ τετέλεκεν **2** ὅτι – fin. om. T

1091 *ὑμεῖς ἐκεῖνοι*: ἆρα ὑμεῖς ἐστε αἱ τὸν Νεμεαῖον χειρωσάμεναι λέοντα, τὸν τὴν Νεμέαν λυμαινόμενον; L

1 lm. accuratiss. 1091–4 *ὑμεῖς – κατειργάσασθε* **2** Νεμέαν Lp (Lascaris): νεμαίαν L

1093a [*λέοντ᾽*,] *ἄπλατον*: ἀπρόσιτον. L T$^{s.l.}$

cf. sch. Pi. *P.* 1.40 ἀπλάτου: ἢ ἀπροσπελάστου …; Hesych. α 6225 ἄπλητον· ἀπρόσιτον

1 lm. L decurtavi: deest in T

1093b[1] (*κἀπροσήγορον*): ἀναγόρευτον, ἀδιήγητον ἢ φαῦλον καὶ μεμισημένον, ὃ οὐκ ἄν τις προσφθέγξαιτο. L T

2 ὃ – fin.: cf. Phryn. *PS* fr. 255 ἀπροσήγορος ἄνθρωπος: ὃν οὐχ οἷόν τε προσαγορεῦσαι διὰ τρόπου τραχύτητα = Σ^b α 2051 = Phot. α 2741 = Su. α 3697

1–2 hoc sch. cum sch. **1093a** copulat L **1** lm. add. Brunck[2] **2** ὃ Stephanus 370: ὃν codd.

1093b[2] (*κἀπροσήγορον*): ἀδιήγητον. L[s.l.]

1 lm. add. Elmsley

1095–6 (*διφυῆ τ´ … ἱπποβάμονα στρατόν* | *θηρῶν*): τὸν τῶν Κενταύρων. L

1 lm. addidi; (*ἄμικτον* s.) L

1095 *ἄμικτον*: ἀπροσπέλαστον, ᾧ οὐκ ἦν συμμῖξαι καὶ συμβαλεῖν. L T

1 haec separatim collocat T: cum sch. pr. coniungit L lm. ex T: deest in L (vide 1)

1096 *ὑπείροχον βίαν*: ὑπερέχοντα κατὰ τὴν δύναμιν. *ὑβριστὴν* δὲ μάχιμον, ὠμόν, οὐ σώφρονα· διὰ τὸν Νέσσον καὶ τὸν Πειρίθου γάμον. L T

1 ὑπερέχοντα: cf. sch. D Hom. *Il.* 208 ὑπείροχον: ὑπερέχοντα; sch. Pi. *N* 3 42a … ὑπερόχους, οἷον ὑπερέχοντας …; sch. Ap. Rh. 158, 16 ὑπείροχος: ὑπερέχων …; Hesych. υ 291 ὑπείροχος· ὑπέροχος, ὑπερέχων (Z 208)

1 lm. deest in T, quippe qui hoc sch. cum sch. **1095** coniungat omissis verbis ὑπερέχοντα – δύναμιν **2** διὰ – fin.] διὰ τὸν νέον τοῦ Πειρίθου γάμον T

1098a *τρίκρανον*: Ἡσίοδος πεντηκοντοκέφαλον αὐτόν φησιν εἶναι, οὗτος δὲ τρίκρανον. L; cf. sch. reformatum in T

1 Ἡσίοδος: *Th.* 312 πεντηκοντακέφαλον, ἀναιδέα τε κρατερόν τε

1–2 sch. ita retractavit T: Τρίκρανον λέγει τὸν κύνα ὃν Ἡσίοδος πεντηκοντοκέφαλον ἔφησεν **1** πεντηκοντοκέφαλον] πεντηκοντα- Lascaris, at cf. Pi. fr. 93.2 S.-M.

1098b (*σκύλακ'*): τὸν Κέρβερον. L[s.l.]

1 lm. add. Elmsley

1099–1100 *τόν τε χρυσέων* | *δράκοντα*: φασὶ τὸν Ἄτλαντα τῷ Ἡρακλεῖ κεκομικέναι τὰ μῆλα ὅτε καὶ αὐτὸς διαδεξάμενος τὸν οὐρανὸν ἐβάστασεν. L T

1 lm. deest in T; accuratiss. 1099–1100 *τόν τε χρυσέων – τόποις* **2** αὐτὸς] αὐτὸν (aut τὸν Ἄτλαντα significat aut cum τὸν οὐρανὸν coniungendum) Elmsley, sed h.l. αὐτὸς Herculem respicit et cum διαδεξάμενος subaudiri αὐτὸν (i.e. τὸν Ἄτλαντα) potest

1100 (*ἐπ' ἐσχάτοις τόποις*): τοῖς τῆς Λιβύης. L

aliter Apollodorus II 113 ταῦτα δὲ (scil. τὰ χρυσᾶ μῆλα) ἦν, οὐχ ὥς τινες εἶπον ἐν Λιβύῃ, ἀλλ' ἐπὶ τοῦ Ἄτλαντος ἐν Ὑπερβορέοις

1 lm. add. Lascaris

1101 (*ἐγευσάμην*): ἐπειράθην. L$^{s.l.}$

1 cf. sch. *Ant.* 1005 ubi *ἐγευόμην* per ἀπεπειρώμην explicat commentator et sch. Eur. *Hipp.* 663 ubi *γεγευμένος* per πειπειραμένος et πεῖραν λαβών explicatur; Hesych. γ 463 γεύσει· ἀποπειράσει; ibid. γ 462 γεύσασθαι· πειρᾶσαι

1 lm. add. Lascaris

1103 *ἄναρθρος*: οὐκ ἔχων τὰ ἄρθρα τῶν μελῶν διὰ τὸ σεσῆφθαι αὐτά. *κατερρακωμένος* δὲ τὰς σάρκας σαπεὶς καὶ ἔχων αὐτὰς κρεμαμένας ὡς ῥάκη. L T

1 cf. sch. Eur. *Or.* 228 (ad lm. *ἄναρθρος*) ἀδύνατος, μὴ δυνάμενος κεχρῆσθαι τοῖς ἄρθροις

2 post τὰς σάρκας add. τουτέστι T κρεμαμένας] ἐκκρεμαμένας T

1104 *τυφλῆς ὑπ᾽ ἄτης*: ὑπὸ νόσου ἀφανοῦς καὶ ἀκαταλήπτου, ἣν οὐκ ἔστιν ἰδεῖν. L T

1 νόσου: cf. sch. **1082** ubi *ἄτης* per νόσου explanatur; *Ph.* 705 ἄτα: ἡ νόσος; sch. Eur. *Hipp.* 276 *ὑπ᾽ ἄτης* per ὑπὸ τῆς νόσου explicatur ἀφανοῦς: cf. sch. Aesch. *Pr.* 250b τυφλάς] … ἀφανεῖς

1 lm.] *τυφλῆς* δὲ T, quippe qui hoc sch. cum sch. **1103** iungat ὑπὸ] ἤγουν ὑπὸ T νόσου post ἀκαταλήπτου transp. T ἣν – fin.] fortasse a prioribus seiungenda ut sui iuris scholium

1107 (*ἴστε*): ὦ παρόντες. L T$^{s.l.}$

1 lm. addidi ὦ] οἱ T

1109 *κἀκ τῶνδε*: ἀντὶ τοῦ καὶ οὕτως ἔχων, καὶ οὕτω διακείμενος. L T$^{s.l.}$

1 lm. scripsit Bernardakis 62 (hoc lm. subaudit Blaydes 240): *κἂν τὸ μηδὲν ὦ* | *κἂν μηδὲν ἔρπω* (vv. 1107–8) L: deest in T; '*scholion quod est ad verba versus 1107, κἂν τὸ μηδὲν ὦ* | *κἂν μηδὲν ἔρπω prius aliud habebat lemma, nempe ἀλλ΄ εὖ γέ τοί*' Wansink 111 ἀντὶ τοῦ καὶ om. T

1113 (*ἀνδρὸς τοῦδέ γ΄ εἰ σφαλήσεται*): εἰ ἀποτεύξεται τούτου. L

1 ἀποτεύξεται: cf. sch. Eur. *Ph.* 725 (ad lm. *σφαλείς*) ἀποτυχών; ibid. 758 (ad lm. *σφαλῶ*) … ἀποτύχω; id. *Med.* 197 ubi *σφάλλουσι* per ἀποτυγχάνειν ποιοῦσι explicatur; Hesych. σ 2844 σφαλεῖεν· ἀποτύχοιεν; ibid. σ 2894 σφήλειεν· ἀποτυχεῖν ποιήσειεν; Σ σ 401 σφαλείς· ἀποτυχών = Phot. 559, 22 = Su. σ 1715

1 lm. addidi ἀποτεύξεται Lascaris: ἀποτεύξηται L

1115 (*σιγὴν παρασχών*): ἀντὶ σιωπήσας καὶ ἡσυχάσας. L T$^{s.l.}$

1 lm. add. Lascaris ἀντὶ om. T

1118 *οὐ γὰρ ἂν γνοίης*: τουτέστιν ἐὰν μὴ τοῦ θυμοῦ παύσῃ πρότερον, οὐ δυνήσῃ γνῶναι ὑπὸ τῆς ὀργῆς σκοτούμενος ὅτι ἀδίκως αὐτὴν ἀνελεῖν βούλει, ὅπερ σοί ἐστι μεγίστη χαρά, οὐδὲ ὅτι μάτην ἀλγεῖς τὴν ψυχὴν νεμεσῶν τῇ οὐδὲν ἀδικησάσῃ. L T

1 lm. deest in T; accuratiss. 1118–9 *οὐ γάρ – μάτην* τουτέστιν om. T θυμοῦ] θυμ., φησί, T **2–3** αὐτὴν ἀνελεῖν inverso ordine T **3** μεγίστη] μεγάλη T μάτην ἀλγεῖς inverso ordine T **4** τῇ ... ἀδικησάσῃ scripsi: τὴν ... ἀδικήσασαν codd. quo servato μισῶν pro νεμεσῶν coni. Zielinski 57

1119 (*χαίρειν*): ἀνελεῖν αὐτὴν βουλόμενος. L

1 lm. addidi

1121 (*ποικίλλεις*): σοφίζῃ, καλλωπίζεις τῷ λόγῳ. L T$^{s.l.}$

1 σοφίζῃ: cf. sch. *Ph.* 130 ubi *ποικίλως αὐδωμένου* per σοφιζομένου illustravit scholiasta καλλωπίζεις: cf. Hesych. π 2714 ποικίλα· πεποικιλμένα, <κε>καλλωπισμένα

1 lm. add. Elmsley σοφίζῃ T (quod haesitans commendat Blaydes 242): σοφίζεις L τῷ λόγῳ] τὸν λόγον T

1124 *ὦ παγκάκιστε*: αὕτη τοῦ μίσους ἐπίτασις, ὅτι καὶ μνήμην τῆς μητρὸς ἐποιήσατο καὶ οὐ τοῦτο μόνον ἀλλὰ καὶ Ἡρακλέους ἀκούοντος. L

1 lm. accuratiss. 1124–5 *ὦ παγκάκιστε – ἐμέ;*

1126 *ἔχει γὰρ οὕτως*: τὸ γὰρ κατ᾽ αὐτήν, φησί, πρᾶγμα ἐκτός ἐστιν ἀδικίας, ὡς μὴ δέον εἶναι τοῦτο σιωπῇ παραδοῦναι. L T

1 lm. deest in T; accuratiss. 1126 *ἔχει – πρέπειν* γὰρ om. T **2** μὴ δέον Papageorgiou: μηδὲν L: μὴ δὲ T

1129 *λέγ᾽, εὐλαβοῦ δέ*: εὐλαβοῦ μὴ δι᾽ ὧν ὑπὲρ τῆς μητρὸς λέγεις περὶ ἐμὲ φαῦλος ἐξελεγχθῇς. L T

1 lm. deest in T; accuratiss. 1129 *λέγ᾽ – γεγώς*

1131 *πρὸς τοῦ; τέρας τοι διὰ κακῶν*: πρὸς τίνος; ἄπιστον γὰρ διὰ δυσφήμων ὥσπερ ἐμαντεύσω· τουτέστιν ἄπιστον λέγεις ὅτι ἑαυτὴν ἀνεῖλεν, εἰ μὴ ἄρα μαντικῆς μετέχων τοῦτο ἔγνως ὡς μάντευμα ἄπιστον. τοῦτο δὲ εἶπεν, ἐπειδὴ πολλάκις τὰ μὴ προσδοκώμενα μαντεύονται
5 οἱ θεοί. L T

1 lm.] *τέρας* T; accuratiss. 1131 *πρὸς τοῦ; – ἐνθέσπισας* πρὸς τίνος; om. T ἄπιστον T (Lascaris): ἀπιστῶν L γὰρ] γάρ, φησί, T **2** δυσφήμων Hermann 188: δυσφημῶν L: δυσφημιῶν T ὥσπερ om. T **4** μαντεύονται] μαντεύουσιν T

1132 (*πρὸς ἐκτόπου*): ὑπὸ ἄλλου, ξένου. L

1 ξένου: cf. Hesych. ε 1740 ἔκτοπα· ξένα; ibid. ε 1742 ἔκτοπον· … ξένον; Σ ε 250 ἔκτοπα· ξένα = Phot. ε 516 = Su. ε 663

1 lm. add. Elmsley post ἄλλου interpunxi

1134 (*στραφείη θυμός*): λήξειεν ἡ ὀργή. L

1 ὀργή: cf. sch. *Ph.* 324, 3 θυμῷ: ὀργῇ; sch. Aesch. *Th.* 692i θυμὸς] ὀργή; sch. Hom. *Il.* 15.24b2 ‘θυμός’ ἀντὶ τοῦ ὀργή; ibid. 15.24b3; sch. D Hom. *Il.* 2.196 θυμός: … ἡ ὀργή

1 lm. add. Lascaris; (*στραφείη* s.) L

1135 *δεινοῦ λόγου*: θαυμαστοῦ· ἄπιστον γάρ, εἰ παύσομαι τῆς ὀργῆς· ὅμως εἰπέ. L T

